19 ὄνους ἡμῶν. [19]προσελθόντες δὲ πρὸς τὸν ἄνθρωπον τὸν ἐπὶ
τοῦ οἴκου Ιωσηφ ἐλάλησαν αὐτῷ ἐν τῷ πυλῶνι τοῦ οἴκου
20 [20]λέγοντες Δεόμεθα, κύριε· κατέβημεν τὴν ἀρχὴν πρίασθαι βρώ-
21 ματα· [21]ἐγένετο δὲ ἡνίκα ἤλθομεν εἰς τὸ καταλῦσαι καὶ ἠνοίξαμεν
τοὺς μαρσίππους ἡμῶν, καὶ τόδε τὸ ἀργύριον ἑκάστου ἐν τῷ μαρ-
σίππῳ αὐτοῦ· τὸ ἀργύριον ἡμῶν ἐν σταθμῷ ἀπεστρέψαμεν νῦν ἐν
22 ταῖς χερσὶν ἡμῶν [22]καὶ ἀργύριον ἕτερον ἠνέγκαμεν μεθ' ἑαυτῶν
ἀγοράσαι βρώματα· οὐκ οἴδαμεν, τίς ἐνέβαλεν τὸ ἀργύριον εἰς τοὺς
23 μαρσίππους ἡμῶν. [23]εἶπεν δὲ αὐτοῖς Ἵλεως ὑμῖν, μὴ φοβεῖσθε·
ὁ θεὸς ὑμῶν καὶ ὁ θεὸς τῶν πατέρων ὑμῶν ἔδωκεν ὑμῖν θησαυ-
ροὺς ἐν τοῖς μαρσίπποις ὑμῶν, τὸ δὲ ἀργύριον ὑμῶν εὐδοκιμοῦν
24 ἀπέχω. καὶ ἐξήγαγεν πρὸς αὐτοὺς τὸν Συμεων [24]καὶ ἤνεγκεν
ὕδωρ νίψαι τοὺς πόδας αὐτῶν καὶ ἔδωκεν χορτάσματα τοῖς ὄνοις
25 αὐτῶν. [25]ἡτοίμασαν δὲ τὰ δῶρα ἕως τοῦ ἐλθεῖν Ιωσηφ μεσημ-
βρίας· ἤκουσαν γὰρ ὅτι ἐκεῖ μέλλει ἀριστᾶν.
26 [26]Εἰσῆλθεν δὲ Ιωσηφ εἰς τὴν οἰκίαν, καὶ προσήνεγκαν αὐτῷ τὰ
δῶρα, ἃ εἶχον ἐν ταῖς χερσὶν αὐτῶν, εἰς τὸν οἶκον καὶ προσεκύ-
27 νησαν αὐτῷ ἐπὶ πρόσωπον ἐπὶ τὴν γῆν. [27]ἠρώτησεν δὲ αὐτούς
Πῶς ἔχετε; καὶ εἶπεν αὐτοῖς Εἰ ὑγιαίνει ὁ πατὴρ ὑμῶν ὁ πρε-
28 σβύτερος, ὃν εἴπατε; ἔτι ζῇ; [28]οἱ δὲ εἶπαν Ὑγιαίνει ὁ παῖς σου
ὁ πατὴρ ἡμῶν, ἔτι ζῇ. καὶ εἶπεν Εὐλογητὸς ὁ ἄνθρωπος ἐκεῖνος
29 τῷ θεῷ. καὶ κύψαντες προσεκύνησαν αὐτῷ. [29]ἀναβλέψας δὲ τοῖς
ὀφθαλμοῖς Ιωσηφ εἶδεν Βενιαμιν τὸν ἀδελφὸν αὐτοῦ τὸν ὁμομή-
τριον καὶ εἶπεν Οὗτος ὁ ἀδελφὸς ὑμῶν ὁ νεώτερος, ὃν εἴπατε πρός
30 με ἀγαγεῖν; καὶ εἶπεν Ὁ θεὸς ἐλεήσαι σε, τέκνον. [30]ἐταράχθη δὲ
Ιωσηφ — συνεστρέφετο γὰρ τὰ ἔντερα αὐτοῦ ἐπὶ τῷ ἀδελφῷ
αὐτοῦ — καὶ ἐζήτει κλαῦσαι· εἰσελθὼν δὲ εἰς τὸ ταμιεῖον ἔκλαυσεν
31 ἐκεῖ. [31]καὶ νιψάμενος τὸ πρόσωπον ἐξελθὼν ἐνεκρατεύσατο καὶ
32 εἶπεν Παράθετε ἄρτους. [32]καὶ παρέθηκαν αὐτῷ μόνῳ καὶ αὐτοῖς
καθ' ἑαυτοὺς καὶ τοῖς Αἰγυπτίοις τοῖς συνδειπνοῦσιν μετ' αὐτοῦ
καθ' ἑαυτούς· οὐ γὰρ ἐδύναντο οἱ Αἰγύπτιοι συνεσθίειν μετὰ τῶν
33 Εβραίων ἄρτους, βδέλυγμα γάρ ἐστιν τοῖς Αἰγυπτίοις. [33]ἐκάθισαν
δὲ ἐναντίον αὐτοῦ, ὁ πρωτότοκος κατὰ τὰ πρεσβεῖα αὐτοῦ καὶ ὁ
νεώτερος κατὰ τὴν νεότητα αὐτοῦ· ἐξίσταντο δὲ οἱ ἄνθρωποι ἕκα-
34 στος πρὸς τὸν ἀδελφὸν αὐτοῦ. [34]ἦραν δὲ μερίδας παρ' αὐτοῦ
πρὸς αὐτούς· ἐμεγαλύνθη δὲ ἡ μερὶς Βενιαμιν παρὰ τὰς μερίδας
πάντων πενταπλασίως πρὸς τὰς ἐκείνων. ἔπιον δὲ καὶ ἐμεθύσθη-
σαν μετ' αὐτοῦ.

21 εγενετο δε] και εγ. A† | ταις χερσιν] τοις μαρσιπποις A† || 23 αυτοις M] + ο ανθρωπος A | τον > A† || 24 εδωκεν] ηνεγκεν A† || 25 μεσημβρια A || 28 αυτω M] > A || 29 ουτος] αυτοις ουτος εστιν A† || 32 fin. M] + πας ποιμην προβατων A: ex 46 34 || 34 μεριδας M] -δα A